eul_wid: rye-ah

*Θεμίστιος ὁ Εὐφραδής* · Themistius the Philosopher

# To Those Not Correctly Interpreting the Sophist

## *Πρὸς τοὺς οὐκ ὀρθῶς ἐξηγουμένους τὸν σοφιστήν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Λόγος* Oration
**Affiliation:** Eclectic

t 1 ΠΡΟΣ ΤΟΥΣ ΟΥΚ ΟΡΘΩΣ ΕΞΗΓΟΥΜΕΝΟΥΣ ΤΟΝ ΣΟΦΙΣΤΗΝ Ὡς σχετλία γε καὶ ἄτοπος λίαν ἡ φιλοσοφίας τύχη ἐστίν, εἰ μηδὲ ἀπολύσασθαι ἕξει τὰς διαβολὰς ἀπραγμόνως, ἀλλὰ περιτρέπεται αὐτῇ μόνῃ εἰς τοὐναντίον τὰ ἔργα, οἷς ἐγχειρεῖ καὶ προαιρεῖται.

343 d καὶ ἐλέγχουσα λοιδορίαν λοιδορεῖσθαι δοκεῖ καὶ ἐγκαλεῖν ἔγκλημα διωθουμένη, καὶ οὐδὲν ἄρα πρὸς ταύτην ἐστὶν ἡ τοῦ Αὐτολύκου σοφία.

344 a ἐκεῖνος γὰρ τὰ μὲν χρώματα ἤμειβε τῶν βοῶν, λύκους δὲ ἐποίει τοὺς βοῦς καὶ παρδάλεις. ταύτης δὲ πολὺ θαυμασιωτέρα γοητεία ἡ περὶ τοὺς λόγους. τοὺς γὰρ ἐναντίους μεταμορφοῖ εἰς τοὺς ἐναντίους καὶ φεύγειν δοκοῦσα διώκει, καὶ φραγνῦσα ἑαυτήν, ὡς μὴ τιτρώσκοιτο, κεντεῖ καὶ τιτρώσκει. καὶ τοῖς μὲν στρατιώταις, ὡς ἔοικεν, ἄλλα ὅπλα ἐστὶν ὥστε ἀποκρούεσθαι τὰς βολάς, ἄλλα δὲ ὥστε βάλλειν καὶ ἀκοντίζειν, ὁ λόγος δὲ ἄρα ὁ πάντων εὐμηχανώτατος πρᾶγμα ἀπορώτερόν ἐστι τοῦ σιδήρου, καὶ ἀνάγκη αὐτῷ ἀντὶ θώρακος χρῆσθαι καὶ ἀντὶ μαχαίρας.

344 b ἢ ὅτι ὁ μὲν λόγος ἕν τι ἐργάζεται, ὁ δὲ οὐκ ὀρθῶς ἀκούων τοῦ λόγου ἕλκει αὐτὸν καὶ ἀναγκάζει οὗ μήτε προὔθετο μήτε ὥρμησεν ἐξ ἀρχῆς, καὶ ἀποχρῆται αὐτοῦ τῇ φύσει εὐκόλῳ οὔσῃ καὶ εὐαγώγῳ μεθαρμόζεσθαι εἰς ὑπονοίας μυρίας· αἳ ὅταν μὲν [οὖν] κατὰ μικρόν γε ὑπάρχωσι προσεοικυῖαι, συγγνώμη τῷ μεταβιβάζοντι τῆς περιεργίας· ὅταν δὲ δὴ καὶ ἐξ ἐναντίας, τοῦτο ἤδη τεράστιον καὶ ἀλλόκοτον.

344 c κατηγορίας δὲ καὶ ἀπολογίας οὐδὲν οἶδα ἐγὼ ἐν τοῖς λόγοις ἐναντιώτερον, ὥσπερ οὐδὲ ἐπαίνου καὶ ψόγου, οὐδὲ ἀβουλίας καὶ εὐβουλίας. Λέγετε οὖν ἡμῖν, ὦ σοφώτατοι χρησμολόγοι τῆς παραδοξότητος τῶν ἐμῶν ῥημάτων, διὰ τί οὕτω πόρρω τὸν πρώην λόγον πολυπραγμονεῖτε καὶ γνωματεύετε. εἰ μὲν γὰρ τοῦτό φατε εἶναι κατηγορίαν, ὅτι ἀπέδειξεν ὁ λόγος συκοφαντοῦντας καὶ ψευδομένους τοὺς διαβάλλοντας, λέγοιτε ἂν ὀρθῶς, καὶ τῷ ὄντι χαλεπὴ κατηγορία ὁ τοῦ ψεύδους ἔλεγχος τῷ ψευδομένῳ.

344 d εἰ δὲ περαιτέρω τι ἐπιζητεῖτε, οὐ τοῦ λόγου αὕτη ἡ κακοήθεια, ἀλλὰ τῶν οὕτως ἀκροωμένων τοῦ λόγου. ὁ μὲν γὰρ λόγος οὐδὲ γινώσκειν ὁμολογεῖ τοὺς σκώπτοντάς με ὡς σοφιστήν, ἀλλ' ὅτι μὴ πάνυ τῷ σκώμματί μου ἐπιτυγχάνουσι πειρᾶται ἀποδεικνύναι, καὶ καλεῖ μάρτυρα ἀξιόπιστον Πλάτωνα τὸν Ἀθηναῖον, καὶ ὅσα ἐκεῖνος ἴχνη δίδωσι καὶ σημεῖα τοῦ σοφιστοῦ,

πάντα ἀκριβῶς ἀπαριθμεῖται αὐταῖς λέξεσι καὶ αὐτοῖς ῥήμασιν, ὥσπερ οἱ τοὺς νόμους ἀναγινώσκοντες.

345 a σὺ δὲ ἀφεὶς τοὺς νόμους αὐτοὺς αἰτιᾶσθαι, εἰ τοιοῦτοί εἰσιν ὥστε σε δάκνειν καὶ ἀνιᾶν, πράγματα ἐμοὶ παρέχεις τῷ καταφυγόντι ἐπὶ τοὺς νόμους, ὥσπερ οἱ διωκόμενοι ἐπὶ τὰ ἱερὰ πρὸ θεῶν. εἰ δὲ ἐπ᾽ ἄλλῳ τῴ με ἐσυκοφάντουν, ἄλλ᾽ ἄττα ἂν προὐτεινάμην τοῖς καθημένοις καὶ οὐ τὰ αὐτὰ καὶ τὸν αὐτὸν τρόπον, ὅτι τούτῳ ὑπεύθυνός ἐστι τῷ ἐγκλήματι ὁ ταδὶ ποιῶν καὶ ταδί.

345 b καὶ ἐγὼ εἰ μὲν ταὐτὰ ποιῶ, τιμωρεῖσθε, εἰ δὲ μή, ἀλλ᾽ ἀφίετε· καὶ εἴ τις ἐμοῦ ταῦτα διεξιόντος ἀναστὰς ἀνέκραγεν ὅτι σύ γε τοῦ δεῖνος κατηγορήσων εἰσελήλυθας—ἐκεῖνον γὰρ ἅπαντες ἴσμεν ταῦτα ἃ φῂς ἐργαζόμενον—εἶπον ἂν πρὸς αὐτόν, ὦ λῷστε, ἀλλ᾽ ἐμοὶ καὶ τῷ ἀνθρώπῳ ἐκείνῳ οὐδὲν πρᾶγμά ἐστι, καὶ μὴ διάβαλλε ἡμᾶς πρὸς ἀλλήλους μηδὲ προστίθει τοῖς ἐμοῖς λόγοις ἄττα ἂν σὺ δοξάζῃς, μηδὲ ἐξηγοῦ ἃ ἐγὼ λέγω, ὡς σὺ ξυνίης, ἀλλ᾽ ὡς ἐγὼ λέγω.

345 c ἐγὼ γὰρ τὸ ἐμαυτοῦ μόνον περί του σκοπῶ, καὶ τοῦτο εὖ θησόμενος παρεκάλεσα τοὺς δικαστάς. καὶ νῦν οὐκ ἄλλ᾽ ἄττα ἢ ταῦτα λέγω. οὐκ ὀρθῶς φημι ὀνομάζειν τοὺς ὀνομάζοντάς με σοφιστήν· οὐδὲ γάρ με ἱκανὸν εἶναι ἐξ ὧν οἱ σοφισταὶ εὐδοκιμοῦσι. ταῦτα δέ ἐστιν ἅ φησιν ὁ θεσπέσιος Πλάτων, τά τε ἄλλα καὶ ὅσα λέγει ἐν τῷ βραχυτέρῳ Ἱππίᾳ πρὸς αὐτὸν ἐκεῖνον Ἱππίαν, αὐτόν τε ἐκεῖνον ἐπιδείκνυσθαι καὶ τοὺς ἄλλους σοφιστὰς ἐπιτηδεύειν.

345 d καὶ τὰ ῥήματα ἐκεῖθεν ταῦτά ἐστιν ἀγαμένου δῆθεν Σωκράτους καὶ ἐκπεπληγμένου, ὅτι ἀφίκετό ποτε εἰς Ὀλυμπίαν Ἱππίας οὐ μόνον ἄλλ᾽ ἀμήχανα ὅσα ἐπιδεικνύμενος, ἀλλὰ καὶ ἔπη καὶ τραγῳδίαν καὶ διθυράμβους καὶ πολλοὺς λόγους καὶ παντοδαποὺς συγκειμένους καὶ περὶ ῥυθμῶν ἁρμονίας καὶ γραμμάτων ὀρθότητος καὶ ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν καὶ τὴν περὶ φύσεως θεωρίαν. ἐμοὶ δέ, ὦ ἄνδρες, τοσοῦτος σωρὸς καὶ ἑσμὸς σοφίας οὔτε ἐκτήθη ποτὲ οὔτε μὴν κτηθείη, λέγω δὲ οὐδὲ ἄλλῳ τῶν ἐν τῇ πόλει.

346 a ἴσως γὰρ καὶ ὑπὲρ τὴν φύσιν ἐστὶ τὴν ἀνθρωπίνην οὕτω δυσαριθμήτων ἀγαθῶν πλοῦτον καὶ θησαυρὸν μιᾷ ψυχῇ ἐναποκεῖσθαι. εἰ δὲ σύ τινα οὕτως εὐδαίμονα τῶν ἡμετέρων πολιτῶν ὑπολαμβάνεις, μακάριος μὲν ἐκεῖνος τῆς εὐποτμίας, μακάριοι δὲ οἱ συνόντες αὐτῷ· ἐγὼ μέντοι, ὦ θαυμάσιε, τοῦ μακαρισμοῦ τούτου πόρρω ἀφέστηκα, καὶ οὐχ ὅτι τὸ πρᾶγμα ἀδίκημα τοῦτό ἐστι, διὰ τοῦτο ἐξαρνοῦμαι, οὐδὲ ὅτι ἄξιον φυγῆς ἢ θανάτου, ἀλλ᾽ αὖθίς σοι καὶ αὖθις λέγω ὅτι ἐγὼ αὐτοῦ πόρρω ἀφέστηκα.

346 b Τί ἂν οὖν τις πρός με ἀγανακτοίη, εἰ ὁμολογῶ δημοσίᾳ ὅτι πένομαι σοφίας καὶ ὀλίγα πάνυ ἐστὶν ἃ ἐπίσταμαι, καὶ ταῦτα ἐν πολλῷ χρόνῳ ἐκμελετῶν καὶ ἄνω καὶ κάτω ἐγκαλινδούμενος; ἐπεὶ καὶ αὐτοῖς τοῖς ὀλίγοις βρενθύομαι ἴσως καὶ αὐθαδίζομαι, καὶ ἐπεστόμισεν ἄν με Σωκράτης ὡς ἀλαζόνα ὄντα, διότι μηδὲ εἶναι σοφὸς ᾤετο καὶ ὡμολόγει ὃν σοφώτατον ἀνεῖπεν ὁ θεός. ἀλλὰ σὺ μορμολύττῃ με καὶ ἐρεσχελεῖς.

346 c ὅσοι γὰρ νῦν ἐν τῇ πόλει σοφισταὶ ὀνομάζονται, πάντας οἶδα ἐγὼ δεξιοὺς καὶ φιλανθρώπους καὶ οὐδένα αὐτῶν ἀμφισβητοῦντα τῆς Ἱππίου μεγαλαυχίας. οὐκοῦν οὐδείς μοι αὐτῶν πολεμεῖ καὶ δυσμεναίνει, ὅτι οὔ φημι σοφιστὴς εἶναι· οὐδὲ γὰρ τῶν ἰατρῶν οὐδείς, ὅτι φημὶ εἶναι κιθαριστής. ἐπεὶ εἰ πάντες μοι πολέμιοι ἦσαν, ὁπόσοι οὐ τὰς αὐτὰς τέχνας ἐργάζονται, πάλαι φροῦδα ἂν ἦν τὰ ἐμὰ πράγματα ἐξ ἀνθρώπων.

346 d Καὶ δῆτα ἐκεῖνος, ὅστις ποτέ ἐστιν ὃν σὺ ὀνειροπολεῖς καὶ μαντεύῃ, οὐ προσήκει αὐτῷ ὁ λόγος. καὶ τί ἂν ἄχθοιτο καὶ δυσχεραίνοι; ἢ εἰ τὰ μάλιστα δῆλός σοί ἐστιν ἀνιώμενος, οὐ πρὸς τὸν λόγον χρὴ ἀνιᾶσθαι, ἀλλὰ πρὸς τὸ ἔργον, δι᾽ ὃ προσήκων αὐτῷ ἐφάνη ὁ λόγος. οὐ γὰρ οἱ λόγοι τὰ πράγματα ἡμῖν προστιθέασιν· ὡς οὐδέν γε ἂν ἦν εὐπετέστερον ἀνθρωπίνης εὐδαιμονίας· ἀλλ᾽ ὅταν τὸ πρᾶγμα ὑπάρχῃ, τηνικαῦτα συνομαρτεῖ καὶ ὁ τοῦ πράγματος λόγος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

347 a χρὴ οὖν ἐκεῖνο ἀποσκευάσασθαι, καὶ ἡ σκιὰ συναπελήλαται τῷ στερεμνίῳ. ἀλλ’, ὅπερ ἐγὼ καὶ ἔμπροσθεν ἔφην, οὐδένα σοφὸν οὕτως ἐξευρίσκω ἐν τῇ πόλει τῇ ἡμετέρᾳ, ὅτῳ ἂν αὕτη ἡ προσποίησις ἐφαρμόσειε τοῦ καταλόγου τῶν διδαγμάτων, ἀλλὰ καὶ κολοβοὶ ἅπαντες καὶ ἡμιτελεῖς πρὸς τὸν Ἱππίαν. καὶ εἰ μέν τις οἷός τέ ἐστι ξυντιθέναι τραγῳδίαν καὶ ἔπη καὶ διθυράμβους, ὥσπερ ὁ ἔναγχος ἐπιδημήσας Αἰγύπτιος νεανίσκος, ἀλλὰ ἀμαθής γε εἶναι ὁμολογεῖ τὴν ὑψηλοτέραν σοφίαν.

347 b εἰ δέ τις ἐκείνην ποιεῖται ἄκρος τε εἶναι καὶ κορυφαῖος, τά τε σμικρὰ ταῦτα οὐκ ἀξιοῖ καὶ χαμαίζηλα δημιουργεῖν, οὐκοῦν οὐδ’ ἄχρι κόμματος οὐδ’ ἐλεγείου. ὥστε οὐδεὶς ἂν ἐν δίκῃ ἡμῖν χαλεπαίνοι ἐπὶ τῷ λόγῳ οὗ εἴσω κάμπτει καὶ ὁλοκλήρου οὐκ ἐξικνεῖται. Ὅτι δὲ οἱ σοφισταὶ οὕτω κηλοῦσι τοὺς νέους εἰς τὰς μεγάλας πόλεις ἰόντες καὶ ἐν ταύταις πείθοντες τὰς τῶν ἄλλων συνουσίας ἀπολιπόντας καὶ οἰκείων καὶ ὀθνείων καὶ νεωτέρων καὶ πρεσβυτέρων αὐτοῖς συνεῖναι καὶ θυραυλεῖν, ἀμελοῦντας γάμων τε καὶ παιδοποιίας, οὐκ ἐμὸς οὗτος ὁ μῦθος, ἀλλὰ Πλάτωνος τοῦ σοφοῦ ἄντικρυς τοῖς ῥήμασιν οἷς ἄρτι εἶπον.

347 c καὶ οὐδὲ αὕτη λοιδορία ἐστίν, ἀλλὰ καὶ Πλάτων βελτίστους καλεῖ τοὺς τοιούτους καὶ ἐγὼ χρηστοὺς ὠνόμασα ἐν τῷ λόγῳ, καὶ τῷ ὄντι νέου αὕτη ἐστὶν ἡ εὐδοκίμησις καὶ ἀρετή, ὃν ἂν ὑπολάβῃ αὐτὸν ἀμείνω ποιήσειν, ὑπὲρ τούτου καὶ χρήματα ἀναλίσκειν καὶ τῷ σώματι ταλαιπωρεῖσθαι. καὶ τὸν Καλλίαν οὐδεὶς μέμφεται ἐπὶ τούτῳ, ὅτι μὴ μόνον Πρωταγόραν ἐθεράπευε καὶ περιεῖπεν, ἀλλὰ καὶ Ἀντίμοιρον τὸν Μενδαῖον καὶ τοὺς ἄλλους μαθητὰς Πρωταγόρου, καὶ ἐκκενώσας τὸ ταμιεῖον τοῖς σοφισταῖς ξενῶνα κατεσκευάσατο· γεννικῆς γὰρ τοῦτο σημεῖον καὶ φιλομαθοῦς διανοίας· ἀλλ’ ὅτι πρὸς Σωκράτην οὐχ ἑώρα τὸν Σωφρονίσκου, οὐδὲ ἐτιτρώσκετο ὑπὸ τῶν λόγων, οὓς θαμὰ εἰώθει λέγειν ἅπασιν Ἀθηναίοις, τοῦτο ἴσως οὐκ εὔδαιμον πάνυ τῆς Καλλίου φιληκοΐας.

348 a ἐπεὶ καὶ τὸν Κλεινίου Ἀλκιβιάδην οὐ κωμῳδεῖ Πλάτων ἐν τῷ συνδείπνῳ ἐξομολογούμενον πρὸς τοὺς συμπότας ὅτι ἕτοιμος ἦν πάντα χαρίζεσθαι τῷ διδασκάλῳ, ἀλλ’ ἐκεῖνος ὁ λόγος ὑπερήφανος ὕμνος ἐστὶ Σωκράτους καὶ Ἀλκιβιάδου· τοῦ μέν, ὅτι μόνου ἑάλω 〈αὐτοῦ,〉 τοῦ δέ, ὅτι μόνος οὐχ ἑάλω Ἀλκιβιάδου. εἰ δὲ ὁ μὲν πρὸς ἅπαντα εἶκεν, ὁ δὲ πρὸς μηδὲν ἐποίει ἀμείνω, Ἀλκιβιάδου μὲν ἔπαινος ἦν, Σωκράτους δὲ κατηγορία.